πάντες οἱ ὑπολελειμμένοι λαοὶ δι᾽ αἵματα ἀνθρώπων καὶ ἀσεβείας
γῆς καὶ πόλεως καὶ πάντων τῶν κατοικούντων αὐτήν. — [9]ὢ ὁ 9
πλεονεκτῶν πλεονεξίαν κακὴν τῷ οἴκῳ αὐτοῦ τοῦ τάξαι εἰς ὕψος
νοσσιὰν αὐτοῦ τοῦ ἐκσπασθῆναι ἐκ χειρὸς κακῶν. [10]ἐβουλεύσω 10
αἰσχύνην τῷ οἴκῳ σου, συνεπέρανας λαοὺς πολλούς, καὶ ἐξήμαρτεν
ἡ ψυχή σου· [11]διότι λίθος ἐκ τοίχου βοήσεται, καὶ κάνθαρος ἐκ 11
ξύλου φθέγξεται αὐτά. — [12]οὐαὶ ὁ οἰκοδομῶν πόλιν ἐν αἵμασιν 12
καὶ ἑτοιμάζων πόλιν ἐν ἀδικίαις. [13]οὐ ταῦτά ἐστιν παρὰ κυρίου 13
παντοκράτορος; καὶ ἐξέλιπον λαοὶ ἱκανοὶ ἐν πυρί, καὶ ἔθνη πολλὰ
ὠλιγοψύχησαν. [14]ὅτι πλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὴν δόξαν 14
κυρίου, ὡς ὕδωρ κατακαλύψει αὐτούς. — [15]ὢ ὁ ποτίζων τὸν πλη- 15
σίον αὐτοῦ ἀνατροπῇ θολερᾷ καὶ μεθύσκων, ὅπως ἐπιβλέπῃ ἐπὶ τὰ
σπήλαια αὐτῶν. [16]πλησμονὴν ἀτιμίας ἐκ δόξης πίε καὶ σὺ καὶ δια- 16
σαλεύθητι καὶ σείσθητι· ἐκύκλωσεν ἐπὶ σὲ ποτήριον δεξιᾶς κυρίου,
καὶ συνήχθη ἀτιμία ἐπὶ τὴν δόξαν σου. [17]διότι ἀσέβεια τοῦ Λιβάνου 17
καλύψει σε, καὶ ταλαιπωρία θηρίων πτοήσει σε διὰ αἵματα ἀνθρώ-
πων καὶ ἀσεβείας γῆς καὶ πόλεως καὶ πάντων τῶν κατοικούντων
αὐτήν. — [18]Τί ὠφελεῖ γλυπτόν, ὅτι ἔγλυψαν αὐτό; ἔπλασαν αὐτὸ 18
χώνευμα, φαντασίαν ψευδῆ, ὅτι πέποιθεν ὁ πλάσας ἐπὶ τὸ πλάσμα
αὐτοῦ τοῦ ποιῆσαι εἴδωλα κωφά. [19]οὐαὶ ὁ λέγων τῷ ξύλῳ Ἔκνη- 19
ψον ἐξεγέρθητι, καὶ τῷ λίθῳ Ὑψώθητι· καὶ αὐτό ἐστιν φαντασία,
τοῦτο δέ ἐστιν ἔλασμα χρυσίου καὶ ἀργυρίου, καὶ πᾶν πνεῦμα οὐκ
ἔστιν ἐν αὐτῷ. [20]ὁ δὲ κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ· εὐλαβείσθω 20
ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.

[1]Προσευχὴ Αμβακουμ τοῦ προφήτου μετὰ ᾠδῆς. 3

[2]Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, 2
κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην.
ἐν μέσῳ δύο ζῴων γνωσθήσῃ,
ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ,
ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ,
ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ.
[3]ὁ θεὸς ἐκ Θαιμαν ἥξει, 3

8 ασεβειας] -αν A, -α W† || 9 ω] ουαι W†: item W† in 15; cf. 6. 12. 19 | εκσπασθηναι] σ $1^0$ > AS*†, σ $2^0$ > B† || 14 οτι] και A† | πλησθησεται $S^c$LC] εμπλησθ. $BW^c$†, ενπλησετε S*†; ενεπλησθη AQW*: cf. Is. 11 9 | γη] συμπασα pau., συμπασα γη AQW: συμπασα ex Is. 11 9 | υδωρ BSV†] + πολυ AQWL: ex Is. 11 9; υδατα C† || 16 και διασαλ. $S^c$LC($C^p$ om. και)] καρδια σαλ. BS*AQ | και σεισθ. > C† | εκυκλωσαν S*† || 17 ασεβειας] -αν A† | αυτην] -των A†, εν αυτη VC† || 18 επλασαν] -σεν BS*A† || 19 οι λεγοντες S*† | και $1^0$ > $S^c$C || 20 αυτου ult. > B†

3 (cf. Od. 4) 1] + υπερ των αγνοιων W†: sim. α′ σ′ ε′ || $2^2$ κατενοησα] pr. κυριε SLC || $3^1$ εκ] απο $S^c$LC